## Das Luft als Urstoff

*Anaximenes ist der dritte „Milesier“ und war ein Schüler des Anaximander. Für ihn ist der Ursprung aller Dinge der ἀήρ (Luft, Nebel), der durch die Erfahrung greifbar ist. Er ist wie das ἄπειρον des Anaximander unendlich (ἄπειρος), aber nicht unbestimmt.*

Ἀναξιμένης δὲ Εὐρυστράτου Μιλήσιος, ἑταῖρος γεγονὼς Ἀναξιμάνδρου, μίαν μὲν καὶ αὐτὸς τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν ὥσπερ ἐκεῖνος, οὐκ ἀόριστον δὲ ὥσπερ ἐκεῖνος, ἀλλὰ ὡρισμένην, ἀέρα λέγων αὐτήν.

Διαφέρειν δὲ μανότητι καὶ πυκνότητι κατὰ τὰς οὐσίας. Καὶ ἀραιούμενον μὲν πῦρ γίνεσθαι, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, ἔτι δὲ μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλα ἐκ τούτων. Κίνησιν δὲ καὶ οὗτος ἀίδιον ποιεῖ, δι’ ἣν καὶ τὴν μεταβολὴν γίνεσθαι.

**ὑπόκειμαι** zugrunde liegen - **ἀόριστος** unbestimmt - **ἡ μανότης** Verdünnung - **ἡ πυκνότης** Verdichtung - **αἱ οὐσίαι** *(hier)* Seinszustände - **ἀραιοῦν** lockern, verdünnen - **ἀίδιος** ewig, immerwährend - **ἡ μεταβολή** Veränderung

## Die Luft umfasst Alles

*Die Luft (ἀήρ) umschließt das gesamte Universum und existiert auch gleichzeitig in diesem Universum.*

Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος ἀρχὴν τῶν ὄντων ἀέρα ἀπεφήνατο· ἐκ γὰρ τούτου πάντα γίγνεσθαι καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι.

„Οἷον ἡ ψυχή“, φησίν, „ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει.“ Λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα.

**ἀναλύεσθαι** sich auflösen - **συγκρατεῖν** zusammenhalten, beherrschen - **τὸ πνεῦμα** Lufthauch, Atem - **συνωνύμως** gleichbedeutend

Ἁμαρτάνει δὲ καὶ οὗτος ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῷα· ἀδύνατον γὰρ ἀρχὴν μίαν τὴν ὕλην τῶν ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ ὑποτιθέναι· οἷον ἄργυρος οὐκ ἀρκεῖ πρὸς τὸ ἔκπωμα γενέσθαι, ἐὰν μὴ τὸ ποιοῦν ᾖ, τουτέστιν ὁ ἀργυροκόπος· ὁμοίως καὶ ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ ξύλου καὶ τῆς ἄλλης ὕλης.

**μονοειδής** eingestaltig, einfach - **συνιστάναι** aus etw. bestehen - **ὑφιστάναι** vorhanden sein - **τὸ ἔκπωμα** Gefäß, Becher
**τουτέστιν** das heißt - **ὁ ἀργυροκόπος** Silberschmied - **ἡ ὕλη** Materie

## Gott ist Luft!

Τὸν ἀέρα θεὸν εἶναι.